καθ' ἕνα ἕκαστον τῶν ἀστέρων ἐπισυναγόμενος ἐκ πάντων ἀριθμὸς πρὸς ὅν φασιν αὐτῶν τὰ χρονικὰ μερίζεσθαι, οὐδένα οἰκεῖον οὐδὲ εὐαπόδεικτον ἔχει λόγον. ἐὰν δὲ καὶ τῷ τούτου κατὰ τὴν ἐπισυναγωγὴν ἀριθμῷ πιστεύσωμεν, ὡς ἄντικρυς ὁμολογουμένῳ ὑπὸ αἰγυπτίων, πολλαχῶς μὲν καὶ ἄλλως τῆς κατὰ τὸ ζῴδιον ποσότητος ἐναλλασσομένης, ὁ αὐτὸς ἀριθμὸς συναγόμενος εὑρέθη. καὶ ὅ πιθανολογεῖν καὶ σοφίζεσθαι τινὲς ἐπιχειροῦσι περὶ αὐτῶν ὅτι κατὰ παντὸς κλίματος ἀναφορικὸν λόγον οἱ καθ' ἕκαστον ἀστέρα συσχηματιζόμενοι πως χρόνοι τὴν αὐτὴν ἐπισυνάγουσι ποσότητα, ψευδές ἐστι. πρῶτα μὲν γὰρ ἠκολουθήκασι τῇ κοινῇ πραγματείᾳ, καὶ τῇ πρὸς ὁμαλὰς ὑπεροχὰς τῶν ἀναφορῶν συνισταμένῃ μηδὲ κατὰ μικρὸν ἐγγὺς οὔσῃ τῆς ἀληθείας, καθ' ἣν ὁ τοῦ διὰ τῆς κάτω χώρας τῆς αἰγύπτου παραλλήλου τῶν μὲν τῆς ♍ καὶ τῶν χηλῶν δωδεκατημορίων ἐν λη΄ χρόνοις ἑκάτερον καὶ ἐπὶ γ΄ ἴσως ἐθέλουσιν ἀναφέρεσθαι, τὸ δὲ τοῦ ♌ καὶ τοῦ ♏ ἑκάτερον, λε΄. δεικνυμένου διὰ τῶν γραμμῶν, ὅτι ταῦτα μὲν ἐν πλείοσι τῶν λε΄ χρόνων ἀναφέρεται, τὸ δὲ τῆς ♍ καὶ τὸ τῶν χηλῶν ἐν ἐλάττοσι. ἔπειτα καὶ οἱ τοῦτο ἐπιχειρήσαντες κατασκευάζειν οὐκέτι φαίνονται κατηκολουθηκότες οὐδὲ οὕτω τῇ παρὰ τοῖς πλείστοις φερομένῃ ποσότητι τῶν ὁρίων, καίτοι πολλὰ διηναγκασμένοι ψεύσασθαι. καί που καὶ μορίοις μορίων ἐχρήσαντο, τοῦ σῶσαι τὸ προκείμενον αὐτοῖς ἕνεκεν, οὐδὲ αὐτὸ ὡς ἔφαμεν ἀληθοῦς ἐχόμενον σκοποῦ. τὰ μέντοι φερόμενα παρὰ τοῖς πολλοῖς, διὰ τὴν τῆς ἄνωθεν παραδόσεως ἀξιοπιστίαν τοῦτον ὑπόκειται τὸν τρόπον.

ὅρια κατ' αἰγυπτίους.

| | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|
| ♈. | ♃ | ϛ | ♀ | ϛ | ☿ | η | ♂ | ε | ♄ | ε |
| ♊. | ☿ | ϛ | ♃ | ϛ | ♀ | ε | ♂ | ζ | ♄ | ϛ |
| ♌. | ♃ | ϛ | ♀ | ε | ♄ | ζ | ☿ | ϛ | ♂ | ϛ |
| ♎. | ♄ | ϛ | ☿ | η | ♃ | ζ | ♀ | ζ | ♂ | β |
| ♐. | ♃ | ιβ | ♀ | ε | ☿ | δ | ♄ | ε | ♂ | δ |
| ♒. | ☿ | ζ | ♀ | ϛ | ♃ | ζ | ♂ | ε | ♄ | ε |
| ♉. | ♀ | η | ☿ | ϛ | ♃ | η | ♄ | ε | ♂ | γ |
| ♋. | ♂ | ζ | ♀ | ϛ | ☿ | ϛ | ♃ | ζ | ♄ | δ |
| ♍. | ☿ | ζ | ♀ | ι | ♃ | δ | ♂ | ζ | ♄ | β |
| ♏. | ♂ | ζ | ♀ | δ | ☿ | η | ♃ | ε | ♄ | ϛ |
| ♑. | ☿ | ζ | ♃ | ζ | ♀ | ζ | ♄ | δ | ♂ | ε |
| ♓ | ♀ | ιβ | ♃ | δ | ☿ | γ | ♂ | θ | ♄ | β |

κατὰ χαλδαίους.

Ὁ δὲ χαλδαϊκὸς τρόπος ἁπλῆν μέν τινα ἔχει καὶ μᾶλλον πιθανήν, οὐχ οὕτω δὲ αὐτάρκη, τήν τε πρὸς τὰς τῶν ▽ δεσποτείας ἀκολουθίαν, καὶ τὴν τῆς ποσότητος τάξιν, ὥστε μέντοι χωρὶς ἀναγραφῆς δύνασθαι ῥᾳδίως ἐπιβάλλειν αὐταῖς. ἐν μὲν γὰρ τῷ πρώτῳ ▽ ♈ καὶ ♌ καὶ ♐, τὴν αὐτὴν ἔχοντι παρ' αὐτοῖς κατὰ ζῴδιον διαίρεσιν, πρῶτος μὲν λαμβάνει ὁ τοῦ ▽ κύριος ὁ τοῦ ♃, εἶθ' ἑξῆς ὁ τοῦ ἐφεξῆς ▽, λέγω δὴ τοῦ τῆς ♀, ἐφεξῆς δὲ